www.e-rara.ch

# Thēsauros. Keraz amaldeiaz, kai kēpoi adōnidos

**Bolzanio, Urbano**

**Venetiis, [Aug. 1496]**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-152037

Gosa Rēmataestin Delōtika Tēs Ypartheos Kai Gosa Toy Goreyesthai Te Kai Toy Kathezesthai Sēmantika. Kaischēmatismoi Aytōn

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d’imprimés conservés dans les bibliothèques de Suisse. L’éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l’imprimerie jusqu’au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΠΌΣΑ ῬΉΜΑΤΆ ἘΣΤΙΝ ΔΗΛΩΤΙΚᾺ ΤΗ͂Σ ὙΠΆΡΞΕΩΣ· ΚΑῚ ΠΌΣΑ ΤΟΥ͂ ΠΟΡΕΎΕΣΘΑΊ ΤΕ ΚΑῚ ΤΟΥ͂ ΚΑΘΈΖΕΣΘΑΙ ΣΗΜΑΝΤΙΚΆ· ΚΑῚ ΣΧΗΜΑΤΙΣΜΟῚ ΑΥ̓ΤΩ͂Ν

i στέον ὅτι δύο ῥήματά εἰσι δηλωτικὰ τῆς ὑπάρξεως· ἔω καὶ εἰμί· καὶ ἀμφότερα γὰρ τὸ ὑπάρχω δηλοῦσιν. ἀπὸ μὲν οὖν τοῦ ἔω κανονίζεται τὸ ὢν ἤτοι τὸ ὑπάρχων, ἡ πρὸ αὐτοῦ τὸ ἐών. καὶ τὸ ἦεν εἰς μέσον [illegible], καὶ δεύτερον [illegible]. κανονίζεται δὲ τὸ ἐὼν καὶ τὸ ὢν οὕτως.

Ἔω τὸ ὑπάρχω, ὁ μέλλων ἔσω, ὁ δεύτερος ἀόριστος ἦον, ἡ μετοχὴ ὁ ἐών. ἡ ἀφαιρέσει τοῦ ε, ὤν, οὗ ἡ τὸ οὐδέτερον, τὸ ὄν. Ἀπὸ δὲ τοῦ εἰμὶ τὸ ἦν τὸ ὑπῆρχον ἐγώ. Τὸ δὲ ἦν τὸ ὑπῆρχεν ἐκεῖνος ἀπὸ τοῦ ἔω κανονίζεται.

τὸ δὲ ἦς καὶ ὑπῆρχες σὺ ἀπὸ τοῦ εἰμί· καὶ ἄλλα πολλὰ ἀπὸ τοῦ εἰμί. ὧν ἕκαστον ἤδη τεχνολογήσομεν. καὶ πρῶτον τὸ ἦν καὶ ὑπῆρχον ἐγώ.

Εἰμί, καὶ ὁ παρατατικός, εἶν διὰ διφθόγγου. καὶ τροπῇ τῆς ει διφθόγγου εἰς η, ἦν. τρέπεται γὰρ καὶ ἡ η εἰς τὴν ει δίφθογγον· ὡς τὸ τέθηκα τέθεικα. τρέπεται καὶ ἡ δίφθογγος εἰς τὴν η. ὡς ἐν τῷ ἤδη παρ' Ὁμήρῳ, ἤγουν ἠπίστατο. ἤδει γὰρ κοινῶς. τὸ δὲ ει διὰ διφθόγγου. ἤδη δὲ παρ' Ὁμήρῳ, η.

Τὸ δὲ ἔα κανονίζεται οὕτως. εἰμὶ καὶ ὁ παρατατικός, εἶν. τὸ ει δίφθογγον. καὶ διαλύσει Ἰωνικῇ, ἔα. οὕτως καὶ τὸ ᾔδειν, ᾔδεα. τιθεῖσι τιθέασι. ἡ χρῆσις δὲ παρ' Ὁμήρῳ· ὡς τὸ οὐ γὰρ ἀμενηνὸς ἔα. ἀπὸ τούτου δὲ τοῦ ἔα, κρᾶσις τοῦ εα εἰς η γίνεται ἦ τὸ ὑπῆρχον ἐγώ· ὡς παρὰ Ἀριστοφάνει. δεῖ γὰρ ὡς ἔοικέ με λέγειν ἃ κρύπτειν ἦ περισκωλασμένος.

Τὸ δὲ ἦν καὶ ὑπῆρχεν ἐκεῖνος, οὕτως· ἔω τὸ ὑπάρχω, ὁ μέλλων, ἔσω, ὁ δεύτερος ἀόριστος ἦον ἦες ἦε· καὶ κατὰ κρᾶσιν ἦν. τοῦτο δὲ καὶ ἔην λέγεται ποιητικῶς προσθήκῃ τοῦ ε.

Τὸ δὲ ἦσαν καὶ ὑπῆρχον ἐκεῖνοι ἀπὸ τοῦ ἦμεν πρώτου προσώπου κατὰ συγκοπήν. ἀπὸ μὲν γὰρ τοῦ ἦν πρώτου προσώπου τῶν ἑνικῶν τὸ πρῶτον τῶν πληθυντικῶν ἦμεν. ὥσπερ ἀπὸ τοῦ ἐτύφθην, ἐτύφθημεν· ἔτυφθεν. καὶ ἠγέρθημεν ἤγερθεν. ὡς παρ' Ὁμήρῳ· οἱ δ' ἐπεὶ οὖν ἤγερθεν ὁμηγερέες τ' ἐγένοντο. τὰ γὰρ εἰς μεν πληθυντικὰ ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κοινῶς μὲν εἰς σαν ποιεῖ τὸ τρίτον ἐτύφθημεν, ἐτύφθησαν, ἦμεν, ἦσαν. αἰολικῶς δὲ κατὰ συγκοπὴν ὡς εἴρηται. χρῆσις δὲ τούτου παρ' Ἡσιόδῳ ἐν θεογονίᾳ· τῶν δ' ἦν τρεῖς κεφαλαί. τὸ δὲ, τῶν δ' ἦν χάλκεα μὲν τείχεα, χάλκεοι δέ τε οἶκοι, δύναται καὶ ἑνικὸν εἶναι· τὰ γὰρ πολλὰ οὐδέτερα καὶ ἑνικῷ ῥήματι συντάσσονται. ταῦτα μὲν ἐν τούτοις.

Τὸ δὲ εἰμὶ μὲν ἀπὸ τοῦ ἔω· ἔστι δὲ τετάρτης συζυγίας τῶν εἰς μι. ὡς γὰρ ζευγνύω, ζεύγνυμι, οὕτως ἔω εἰμί. ἐπειδὲ ἡ τετάρτη συζυγία τῶν εἰς μι διχρόνῳ ἐκτεταμένῳ παραλήγεται· πλεονάζει τὸ ι δίχρονον, καὶ γίνεται εἰμί. ὅτι δὲ τετάρτης συζυγίας ἐστὶ τὸ εἰμί, δῆλον καὶ ἀπὸ τῆς ἕκτης τῶν βαρυτόνων. ἀπὸ γὰρ τοῦ ἔω ἐμὶ καὶ εἰμί· οὕτω γὰρ καὶ τὸ ζεύγνυμι προσεχῶς ἀπὸ τοῦ ζευγνύω. πορρωτέρω γὰρ καὶ ἀπὸ τοῦ ζεύγω παράγεται, ἢ ἀπὸ τοῦ ζεύγνω. δῆλον δὲ καὶ ἀπὸ τοῦ ἔχειν πρὸ τοῦ μι δίχρονον τὸ ι ἐκτεταμένον τῇ διφθόγγῳ. ἡ γὰρ τετάρτη τῶν εἰς μι διχρόνῳ ἐκτεταμένῳ παραλήγεται. μάλιστα δὲ δῆλόν ἐστιν ὅτι τῆς τετάρτης συζυγίας ἐστὶ τῶν εἰς μι τὸ εἰμὶ ὅτι οὐ κινεῖται ἐπέκεινα τοῦ ἐνεστῶτος καὶ παρατατικοῦ. ὅπερ ἐστὶν ἴδιον τῆς τετάρτης συζυγίας τῶν εἰς μι. τὸ γὰρ ζεύγνυμι μόνον ἐνεστῶτα καὶ παρατατικὸν ἔχει. μέλλοντα γὰρ οὐκ ἔχει· οὐδὲ παρακείμενον· οὐδὲ τοὺς ἑξῆς χρόνους. ὥστε τε

ταρτης δ' ἐστὶ συζυγίας καὶ αὐτό, καὶ τὸ εἶμι, ὃ σημαίνει τὸ πορεύομαι· ἀλλά, ἐπεὶ μὲν τοῦ εἶμι καὶ τῶν ἐξ αὐτοῦ κανονισμάτων μετὰ ταῦτα ἐκθήσεται· νῦν δὲ τὰ ἐκ τοῦ ἔω καὶ τοῦ εἰμὶ ἐκτέον.

Εἶ καὶ ὑπάρχεις κανόνισον. ἔω τὸ ὑπάρχω, οὗ τὸ παθητικὸν ἔομαι. τὸ δεύτερον ἔῃ, καὶ συναιρέσει τοῦ ε καὶ ι προσγεγραμμένου, γίνεται εἶ. τὸ δὲ ι ἀποβάλλεται· διὰ τὸ μὴ δύνασθαι, μήτε συνεκφωνεῖσθαι, μήτε προσγράφεσθαι. οὕτω καὶ τὸ βοάῃ βοᾷ γίνεται κατὰ κρᾶσιν ἀποβαλλομένου τελείως τοῦ ι· διὰ τὸ μήτε συνεκφωνεῖσθαι, μήτε προσγράφεσθαι δύνασθαι. τοῦτο τὸ εἶ μετὰ τῆς παρὰ προθέσεως πάρει λέγεται. ὡς τὸ ἑταῖρε ἐφ' ᾧ πάρει. εἰ δὲ τὸ εἶ μὲν ἐσήμαινε τὸ ὑπάρχεις· τὸ δὲ πάρει σημαίνει τὸ ἦλθες· ὅτι ἡ ἑτερότης τῆς σημασίας παρὰ τὴν σύνθεσιν τῆς προθέσεως γέγονεν. οὕτω καὶ οὐσία μὲν τὸ αὐθυπόστατον πρᾶγμα δηλοῖ, παρουσία δὲ τὴν ἔλευσιν. καὶ ἑτεροιοῦται ἡ σημασία διὰ τὴν πρόθεσιν. μετὰ ἄλλης δὲ προθέσεως τὸ εἶ καὶ ὑπάρχεις οὐ συνδυάζεται εἰ μὴ μετὰ τῆς παρὰ καὶ τῆς σὺν μόνης. οἷον, σύνει. ὡς παρὰ Σοφοκλεῖ, τοῖς τοῦ πατρὸς φονευταῖς σύνει. τὸ γὰρ ἔξει καὶ μέτει, ὡς παρὰ Ἀριστοφάνει· ἔξει τὸν ἀσκάντην λαβών, ἑτεροίαν ἔχουσι τὴν σημασίαν. τὸ γὰρ μέτελθε καὶ ἔξελθε σημαίνουσι καὶ εἰσὶ προστακτικά. τὸ δὲ πάρει ὁριστικόν ἐστι· οὐ τὸ παρῆλθες σημαίνει, ἀλλὰ τὸ ἦλθες. κανονισθήσονται δὲ καὶ μέτει καὶ ἔξει ἐν οἰκείοις τόποις.

## ἜΣΤΑΙ.

Τὸ δὲ ἔσται, ἀπὸ τοῦ ἔσεται κατὰ συγκοπήν.

Τὸ δὲ ἔσεται οὕτως. ἔω. ὁ μέλλων ἔσω. καὶ δωρικῶς ἐσῶ, μετὰ περισπωμένου τόνου. λαψῶ γὰρ καὶ δωσῶ φασὶν οἱ δωριεῖς. ὡς Ἀρχύτας τε καὶ Θεόκριτος. ὁ μέσος μέλλων πρῶτος ἐσοῦμαι, λέ-

γει γὰρ ὁ κανών. εἰ δὲ περισπῶντο εἰς τὴν οὐ δίφθογγον, τὸ δεύτερον ἔσται τὸ σεῖ; δίφθογγον. κλίσιν γὰρ ἔχει ὁμοίαν.

Τὸ δὲ ἤμην εἰς ὑπερσυντέλικον. ἔω, ὁ μέλλων ἔσω. ὁ παρακείμενος εἶκα, ὁ παθητικὸς, ἧμαι. ὁ ὑπερσυντέλικος ἤμην. οὐ πάντοτε γὰρ ὁ παθητικὸς παρακείμενος, ἐν τῇ ἕκτῃ συζυγίᾳ λαμβάνει τὸ σ. οἷον λέλουμαι καὶ λέλυμαι. ἀπὸ τοῦ λούω καὶ λύω. ἀπὸ τούτου καὶ ἔσο καὶ ὕπαρχε. τὸ γὰρ δεύτερον τούτου, ἧσο. καὶ κατὰ συστολὴν, ἔσο γίνεται. διὰ τὸ μεταπεσεῖν τὴν τοῦ ὑπερσυντελίκου σημασίαν καὶ παρατατικοῦ, ἔσο καὶ ὕπαρχε λέγομεν. τὸ δὲ ὕπαρχε παρατατικοῦ. ἐν δὲ τοῖς παρατατικοῖς, καὶ συστολῆς οὔσης ἀρχούσης ἐν τοῖς προστακτικοῖς γίνεται, ἠλύθου. ἐλύθου. ἠκούου. ἀκούου.
ταῦτα μὲν ἀπὸ τοῦ ἔω.

## ἈΡΧῊ ΤΩ͂Ν ἈΠῸ ΤΟΥ͂ ἘΙΜΙ.

ἈΠῸ ΔῈ ΤΟΥ͂ εἰμὶ ἕτερα. πρῶτον μὲν τὸ ἐσσὶ, ἤγουν τὸ ὑπάρχεις σὺ, ὡς παρ' Ὁμήρῳ. εἰ δὲ σὺ καρτερός ἐσσι θεὰ δέ σε γείνατο μήτηρ. ὅπερ κανονίζεται οὕτως. εἰμί, τὸ δεύτερον μὲν ὤφειλεν εἶς ὀξυτόνως. τὰ γὰρ εἰς μι τρέποντα τὸ μι εἰς σ τὸ δεύτερον ποιεῖ. οἷον τίθημι τίθης, ἀλλ' ἵνα μὴ συνεμπέσῃ τῷ εἶς ὁ ἔρχῃ. οἷον τίς πόθεν εἶς ἀνδρῶν; προσθήκῃ καὶ ἑτέρου σ. καὶ μεταθέσει τοῦ ι, ἐσσὶ γίνεται. ἐδιπλασιάσθη δὲ τὸ σ, ὅτι τὸ ἓν σ μετὰ τοῦ ἐκφωνουμένου ι τοῦ τρίτου προσώπου μᾶλλόν ἐστι χαρακτηριστικόν. οἷον, τίθησι. δίδωσι. ἄλλοι δὲ οὕτως αὐτὸν κανονίζουσιν.

Ἀπὸ τοῦ εἰμὶ, ὅπερ ἀπὸ τοῦ ἔω γίνεται. τὸ δεύτερον ἐς. καὶ ἐπεὶ οὐδέποτε ὁριστικὸν πρόσωπον τοῦ ἐνεστῶτος βραχυκαταληκτεῖ, ἐνικὸν κοινὸν ὄν. εἰ μὲν πλεονάσει τὸ ι, συνεμπίπτει μετὰ τοῦ εἶς ὁ ἔρχῃ. εἰ δὲ τραπῇ τὸ ε εἰς η, συνεμπίπτει μετὰ τοῦ ἐὰν ᾖς ἀντὶ τοῦ ὑπάρχῃς. ὥστε ἐξ ἀνάγκης πλεονασ-

μὸς γίνεται καὶ ἕτερον σ̄· ἵνα, κἂν θέσει μακρὰ γένηται ἡ συλλαβή. ἐπεὶ δὲ οὐδέποτε λέξις ἑλληνικὴ εἰς δύο σύμφωνα τὰ αὐτὰ καταλήγει, πλεονάζει καὶ τὸ ῑ, καὶ γίνεται εἰσί.
Τὸ τρίτον ἐστὶ ὁμοίως διὰ τοῦ σ̄· τὰ γὰρ εἰς μῑ προπερισπώμενα μῑ εἰς σῑ τὸ τρίτον ποιεῖ· τίθημι, τίθησι· ἐμί, ἐσί· ἀλλ' ἐπεὶ τὰ εἰς ῑ λήγοντα ῥήματα φύσει μακρᾷ παραλήγονται, διὸ καὶ τὸ ἐμὶ εἰμὶ γέγονεν· εἰ μὲν πλεονάσει τὸ ῑ εἰσὶ γίνεται· καὶ συνεμπίπτει μετὰ τοῦ εἰσὶ τρίτου προσώπου τῶν πληθυντικῶν. εἰ δὲ τραπῇ τὸ ε̄ εἰς η̄ συνεμπίπτει μετὰ τοῦ ἠσὶ καὶ φησίν. ὥστε ἐξ ἀνάγκης διπλασιάζεται πάλιν τὸ σ̄, καὶ γίνεται κἂν θέσει μακρὰ ἡ παραλήγουσα· ἀλλ' ἵνα μὴ συνεμπέσῃ τῷ δευτέρῳ τὸ τρίτον, τρέπεται τὸ ἓν σ̄ εἰς τ̄· καὶ γίνεται ἐστὶν· ὃ καὶ ἐστὶ γράφεται. τὰ δυϊκά, ἐτὸν ἐτόν, καὶ πλεονασμῷ τοῦ σ̄, ἐστὸν· ἐστόν. Τὰ πληθυντικὰ ἐμὲν ἐτέ· ἐν πλεονασμῷ τοῦ σ̄, ἐσμέν· ἐστέ· τὸ τρίτον τῶν πληθυντικῶν, εἰσίν· ὃ καὶ ἔασι γίνεται ποιητικῶς.

Ἴσθι καὶ ὕπαρχε κανόνισον· εἰμὶ καὶ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ ἐὼν ὄντος· καὶ τὸ προστακτικὸν, ἔθι· ὡς τιθεὶς τιθέντος· τίθετι· τούτου τὸ τρίτον, ἔτω· καὶ πλεονασμῷ τοῦ σ̄, ἔστω γίνεται· τροπῇ δὲ τοῦ ε̄ εἰς η̄· ἤτω· τὸ δὲ ἔθι δεύτερον πρόσωπον πλεονασμῷ τοῦ σ̄, ἴσθι γίνεται· ἐὰν γὰρ τοῖς παραληγομένοις τὸ ε̄ πλεονάσαντος συμφώνου τρέπεται τὸ ε̄ εἰς ῑ· οἷον ἔχω, ἴσχω· ῥέπτω, ῥίπτω· μένω, μίμνω· αὐτὸ μὲν οὖν τὸ ἴσθι ὡς ἀπὸ πάθους γινόμενον ἀκίνητον μεμένηκεν· ἡ κλίσις δὲ ἀπὸ τοῦ ἔθι προβαίνει· ἢ κατὰ πλεονασμὸν τοῦ σ̄ ὡς εἴρηται· ἢ κατὰ τροπὴν τοῦ ε̄ εἰς η̄· ἔστω καὶ ἤτω· ἔστον καὶ ἦτον· ἔστων καὶ ἤτων ἔστε καὶ ἦτε· ἐστὲ μὲν γὰρ ὁριστικόν· ἔστε δὲ προστακτικόν· καὶ ὡ εἴσκεται ἐπὶ τούτου χρῆσις, ὡσαύτως καὶ τὸ ἦτε προστακτικόν· τὸ τρίτον τῶν πληθυντικῶν ἔστωσαν καὶ ἤτωσαν.

## ΕἾΝΑΙ ἈΝΤῚ ΤΟΥ͂ ὙΠΆΡΧΕΙΝ

Τὸ δὲ εἶναι καὶ ὑπάρχειν καὶ αὐτὸ ἀπὸ τοῦ εἰμὶ κανονίζεται. ὁ παρατατικὸς γὰρ αὐτοῦ ἦν, ἡ μετοχὴ εἰς ὄντος, καὶ τὸ ἀπαρέμφατον ἦναι· καὶ πλεονασμῷ τοῦ ῑ, εἶναι.

Τὸ δὲ εἶναι τὸ πέμψαι πρὸς τοῦτο διάφορον· ὡς παρὰ Ἀριστοφάνει· τὸ θεῖναι καὶ σὺ σαυτήν.

Τὸ δὲ εἴην καὶ αὐτὸ ὡς τὸ τιθείην.

Τὸ δὲ εἶεν ἀντὶ τοῦ εἴησαν· ἀπὸ τοῦ εἴημεν κατὰ συγκοπήν· ὥσπερ πρὸ τούτου εἴρηται.

Τὸ δὲ ἐὰν ὦ, καὶ αὐτὸ ὡς τὸ ἐὰν τιθῶ, ἁπλῶς γὰρ ἐν τούτῳ δύο χρόνοι εὑρίσκονται ὁ ἐνεστὼς καὶ ὁ παρατατικός· καθὼς καὶ ἐν τῷ ζώννυμι. μέλλων δὲ τούτου οὐκ ἔστιν ὡς εἴρηται· ἀπὸ δὲ τοῦ ἔω λαμβάνομεν τὸν μέλλοντα. οὐδὲ ἔσω τὸ ἐνεργητικόν· ἵνα μὴ συνεμπέσῃ τῷ ἔσω καὶ ἔσωθεν· ἀλλὰ τὸ ἔσομαι καὶ ἐσοῦμαι.

## ΤᾺ ΤΟΥ͂ ΠΟΡΕΎΟΜΑΙ ΣΗΜΑΝΤΙΚΆ.

Τῶν δὲ πορεύομαι τρία εἰσὶ σημαντικὰ ῥήματα· εἴω διὰ διφθόγγου· καὶ εἶμι· καὶ ἵημι· ἐπεὶ δὲ τὸ ἵημι παράγωγόν ἐστιν· ὡς γὰρ ἀπὸ τοῦ τιθῶ τίθημι· οὕτω καὶ ἀπὸ τοῦ ἱέω ἱῶ ἵημι, δοκεῖ τῷ παρόντι συναναφαίνεσθαι, τὸ ἱέω, ἱῶ· καὶ ἔστι πρὸ τούτου τὸ ἴω διὰ τοῦ ῑ· ὅπερ ἐστὶν ὑποτακτικοῦ δευτέρου ἀορίστου· ὥστε δῆλον ὅτι πέντε εἰσί· εἴω διφθογγούμενον· ἴω διὰ τοῦ ῑ· καὶ ἱέω ἱῶ· διὰ τὸ ἀκόλουθον τῆς τεχνολογίας καὶ τὴν παραγωγὴν τοῦ ἵημι λέγονται· ἀπὸ μὲν οὖν τοῦ εἴω, κανονίζεται τὸ ἐπῄειν οὕτω.

Εἴω, ὁ μέλλων εἴσω, ὁ παρακείμενος εἶκα· ὁ μέσος εἶα, καὶ τροπῇ τοῦ ε εἰς η, ἦα, ὁ ὑπερσυντέλικος ᾔειν· καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπῄειν· τὸ τρίτον, ἐπῄει, καὶ μετῄει

καὶ ἑξῆς. καὶ τὸ ἐξιὼν εἰς δεύτερον ἀόριστον. καὶ τὸ ἔξει. ὡς τὸ ἔξει τὸν ἀσκάντην λακιῶν. ἕω γάρ, ὁ μέλλων ἔσω. ὁ δεύτερος ἀόριστος· ἷον· ἷες· ἷε, καὶ μετὰ τῆς ἐξ· ἔξιε, καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν, ἔξει. ὡσαύτως δὲ μετὰ τῶν λοιπῶν προθέσεων. μέτει καὶ δίει. μόνον γὰρ τὸ πάρει καὶ σύνει οὐ γίνονται ἀπὸ τούτου. ἀλλ' ἀπὸ τοῦ εἶ καὶ ὑπάρχεις καὶ τὸ ἀπίει καὶ τὸ ἐξίει μετὰ τῶν λοιπῶν προθέσεων ἀπὸ τοῦ εἴω.

Τὸ δὲ ἀφιέναι καὶ μετιέναι ἀπὸ τοῦ ἵημι. τούτου γὰρ ὁ παρατατικὸς ἵην. ἡ μετοχὴ ὁ ἱεὶς τοῦ ἱέντος. καὶ τὸ ἀπαρέμφατον ἱέναι ὡς τιθέναι.

Καὶ τὸ μεθιέναι καὶ τὸ ἀφιέναι ἀπὸ τοῦ ἵημι τοῦ δασυνομένου ὃ σημαίνει τὸ πέμπω, ἢ ἀπολύω, ἅπερ ἐστὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν μεθεῖναι δὲ ἀφεῖναι γράφονται. οἷον ἐστὶ καὶ τὸ εἶναι παρὰ ἀριστοφάνει. τοῦθ' εἶναι καὶ σὺ σαυτόν.

Τὸ δὲ ἴθι καὶ ἐλθὲ ἀπὸ τοῦ εἶμι. τούτου γὰρ ὁ παρατατικὸς ἦν, ἡ μετοχὴ εἰς ἔντος. καὶ τὸ προστακτικὸν, ἴθι. ὢν γὰρ εἰς σ ὀξύτονον ἡ μετοχὴ διὰ τοῦ ντ κλινομένη. τούτων, εἰς θι τρέπεται τὸ προστακτικὸν, χωρὶς τοῦ· θὲς· δὸς· ἕς. ἡ δὲ παραλήγουσα ἡ αὐτή ἐστι τῇ παραληγούσῃ τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ὁριστικοῦ. οἷον τυφθεὶς τυφθέντος, τύφθητι. ἐτύφθημεν. γνοὺς γνόντος. γνῶθι ἔγνωμεν. τιθεὶς. τιθέντος, τίθετι ἐτίθεμεν. οὕτως οὖν εἷς ἕντος, ἴθι ἴμεν. κλίνεται γὰρ ὁ ἦν παρατατικὸς, οὕτως. ἦν. ἦς. ἦ. τὰ δυϊκὰ, ἶτον, ἴτην, ὡς παρ' ἡσιόδῳ. αἰδὼς δὲ καὶ νέμεσις ἀπὸ χθονὸς εὐρυοδείης, εἰς οὐρανὸν ἴτην. ἤγουν ἐπορεύθησαν. τὰ πληθυντικὰ, ἴμεν. ἴτε. ἴσαν. ἰωτογραφοῦνται δὲ ταῦτα ὅτι τὰ εἰς μι ἐπὶ τῶν πληθυντικῶν συστέλλουσι τὴν παραλήγουσαν.

Αὐτὸ δὲ τὸ εἶμι κλίνεται οὕτως. εἶμι γάρ. τὸ δεύτερον, εἶς. τὸ

τρίτον εἰσίν. Ἰστέον δὲ ὅτι ἐπεὶ μέλλοντα τὸ εἶμι οὐκ ἔχει, αὐτὸ καὶ ἀντὶ ἐνεστῶτος καὶ ἀντὶ μέλλοντος λαμβάνεται. ἀντὶ μὲν ἐνεστῶτος, ὡς τό· τίς πόθεν εἶς ἀνδρῶν; ἀντὶ τοῦ ἔρχῃ. ἀντὶ δὲ μέλλοντος· οἷον παρ' ἡσιόδῳ· τῇ δ' εἶς ἥ σ' ἂν ἐγώ περ ἄγω· ἀντὶ τοῦ πορεύσῃ. καὶ πάλιν ἀντὶ μὲν ἐνεστῶτος, ὡς τὸ ἀλλ' ἐπὶ γαῖαν εἶσι δύω, ἀντὶ τοῦ ἔρχεται. ἀντὶ δὲ τοῦ μέλλοντος οἷον παρ' ὁμήρῳ, νῦν δ' εἶμι φθίηνδε ἀντὶ τοῦ πορεύσομαι. καὶ τὸ μέτειμι δὲ ὡς ἐπὶ τὸ πλεῖστον, ἀντὶ τοῦ μετελεύσομαι λαμβάνεται.

Τὰ δυϊκὰ ἴτον ἴτην· τὰ πληθυντικὰ, ἴμεν ἴτε ἴσι, καὶ ἰωνικῶς ἴασι, ὡς ζευγνύασι. καὶ μετὰ τῶν προθέσεων ἐξίασι καὶ μετίασι καὶ ὁσαχῶς ἄλλως ἐν χρήσει εὕρηται.

Τοῦτο μὲν οὖν τὸ ψιλούμενον καὶ σημαῖνον τὸ πορεύονται, ἴασι προπαροξυτόνως λέγεται. οὐδὲ μίαν ἀνάγκην ἔχον προπερισπᾶσθαι. ἔνθα γὰρ εἶχε τὸν τόνον τὸ κοινὸν, ἐκεῖσε καὶ τὸ ἰωνικὸν ἔχει τὸν τόνον. τὸ δὲ ἱᾶσι τὸ δασυνόμενον ὅπερ σημαίνει τὸ πέμπουσι καὶ ἀπολύουσι πρὸ μιᾶς ἔχει τὸν τόνον κατὰ τοῦτον τὸν λόγον. ἵημι γὰρ τὸ πέμπω· ἵης ἵησι, ἵετον· ἵεμεν· ἵετε, ἱεῖσιν ὡς τιθεῖσι. καὶ ἰωνικῶς ἱέασιν ὡς τιθέασι. Ἰστέον δὲ ὡς εἰ μὲν δίφθογγον ἔχει τὸ τρίτον τῶν πληθυντικῶν ἐν τῇ παραληγούσῃ, γίνεται οὕτως ἰωνικῶς· τιθεῖσι τιθέασι· διδοῦσι· διδόασιν· ἱεῖσιν ἱέασιν. εἰ δὲ μονόφθογγον ἔχει ἡ παραλήγουσα τοῦ τρίτου προσώπου τῶν πληθυντικῶν τὸ ἰωνικὸν προσθήκῃ μόνον τοῦ α κλίνεται, ἱστᾶσιν ἱστάασιν. ζευγνῦσιν ζευγνύασι· ἴσιν ἴασιν. ἀλλ' εἰ μὲν δύο μόνα φωνήεντα κατὰ διάστασιν ἐν τῇ ἰωνικῇ διαλύσει εἰσὶ, μένουσιν ἀναλλοίωτα. τιθέασι διδόασι. δύο γὰρ εἰσὶ κατὰ διάστασιν φωνήεντα τό τε ε καὶ τὸ α· καὶ πάλιν τὸ ο καὶ α. ἐν γὰρ τῷ τιθέασι συλλαβικῶς διΐσταται τὸ ο τοῦ α. εἰ δὲ τρία φωνήεντα ἐν τῇ ἰωνικῇ διαλύσει εὑρίσκεται, οἷον ἐν τῷ

ἴεασιν, ἐπακολουθεῖ καὶ κρᾶσις τοῦ ε̄ καὶ ᾱ, εἰς ᾱ μακρὸν· καὶ γίνεται ἰᾶσιν· ἐν γὰρ τῷ ἴεασιν ἰδικῶς συλλαβίζεται τὸ ῑ· καὶ ἰδικῶς τὸ ε̄· καὶ ἰδικῶς τὸ ᾱ· καὶ κατὰ τοῦτο λέγονται τὰ τρία συλλαβικῶς ἀπ᾽ ἀλλήλων διΐστασθαι· οὕτω καὶ τὸ ἀχιλλέως μὲν συναίρεσιν οὐκ ἐπιδέχεται· καὶ τὸ βασιλέως· ἐπεὶ οὐκ ἔχουσι τρία φωνήεντα κατὰ διάστασιν· τὸ δὲ πειραιέως καὶ πειραιῶς λέγεται κατὰ κρᾶσιν· ἢ τὸ ἐρετριέως ἐρετριῶς· καὶ τὸ ἑστιέως ἑστιῶς· ἐστὶ ἐν ἄλλοις τὸ ὅμοιον γίνεται· οὕτω ἐστὶ τὸ ἴεασιν ἰᾶσιν.

Μετὰ δὲ τῶν προθέσεων τινὰ μὲν ταυτίζονται· τινὰ δὲ ἑτεροιοῦνται· οἷον, μετὰ τῆς ἐν προθέσεως ἐνίασι μὲν λέγομεν· ἐνιᾶσι δὲ οὔ· μετὰ δὲ τῆς εἰς ἀνάπαλιν· εἰσίασι μὲν λέγομεν· εἰσιᾶσι δὲ οὔ· ἡ μετὰ τῆς ἐξ ἐξίασιν· οὐκ ἐξιᾶσιν· μετὰ δὲ τῆς σὺν καὶ συνίασι καὶ συνιᾶσι· ἀλλὰ τὸ μὲν συνίασι σημαίνει τὸ συνέρχονται· τὸ δὲ συνιᾶσι τὸ γιγνώσκουσι καὶ νοοῦσι· ταυτίζονται γὰρ εἶπον, οὐ κατὰ τὸ σημαινόμενον· ἀλλὰ κατὰ τὴν ἐκφώνησιν τοῦ ὀνόματος· ἑτεροιοῦνται δὲ καὶ τῷ τόνῳ καὶ τῷ σημαινομένῳ.

Μετὰ δὲ τῆς πρὸς, προσίασιν οὐ προσιᾶσιν· εἰ γὰρ καὶ προσιέμενος καὶ προσοῦ λέγομεν· καὶ ἔτι μᾶλλον προσιέμενος καὶ προσῆκαν καὶ προσεῖσθαι, ἀλλὰ μετὰ τῶν ἐνεργητικῶν ἡ τῆς πρὸς σύνθεσις, ἄχρηστός ἐστιν· οὔτε γὰρ προσίημι λέγομεν· οὔτε προσήκω, οὔτε προσῆκα· οὔτε τι ἕτερον ἐνεργητικόν· ὥστε οὐδὲ τὸ προσιᾶσι κοινὸν ὂν ἐν χρήσει εὑρίσκεται· πρόσειμι δὲ τὸ πορεύομαι· καὶ πρόσεισιν ἀντὶ τοῦ προσέρχεται, ἐν χρήσει εἰσί· διὰ τοῦτο ἐστὶ τὸ προσίασιν.

Μετὰ δὲ τῆς πρὸ· προΐασιν οὐ προϊᾶσιν· τὸ γὰρ προΐενται τὸ παθητικὸν ἐν χρήσει ἀντὶ ἐνεργητικοῦ λαμβανόμενον· ὥσπερ καὶ τὸ προέμενος ἐστὶ πρόου.

Μετὰ δὲ τῆς ἀνὰ ἀνίασι καὶ ἀνιᾶσι, ἐπεὶ καὶ ἀνῆκα, καὶ ἄνες.

Μετὰ δὲ τῆς κατὰ κατίασι καὶ καθιᾶσι.

Μετὰ δὲ τῆς διὰ διίασιν ὁ διιάσιν· ἢ καὶ διιᾶσιν· ἐπεὶ καὶ δίεσις.

Μετὰ δὲ τῆς μετὰ καὶ μετίασι καὶ μεθιᾶσι· ἐπεὶ καὶ μεθίεμεν, ὡς παρὰ Ἀριστοφάνει· νῦν μεθίεμεν.

Μετὰ δὲ τῆς παρὰ παρίασι καὶ παριᾶσι.

Μετὰ δὲ τῆς ἀντὶ οὐδέτερον. ἐρεῖ δέ τις ὡς δυνατὸν ἦν καὶ ἀπὸ τοῦ ἵημι τὸ πορεύομαι τὸ τρίτον τῶν πληθυντικῶν, ἰᾶσιν εἶναι καὶ μετιᾶσι καὶ κατιᾶσι μετὰ τῶν προθέσεων· ἀλλ' οὐ χωρεῖται τοῦτο ἐν χρήσει. τουτέστιν ἡ ἐν πᾶσι τοῖς ἀριθμοῖς κλίσις τοῦ χρόνου. οὔτε ἁπλῶς, οὔτε μετὰ τῶν προθέσεων· οὐ γὰρ λεγόμενον ἵημι τὸ πορεύομαι· ἀλλ' ἵεμαι· καὶ ἱέμενος εὑρίσκεται ἐν χρήσει. τὸ δὲ ἐνεργητικὸν ἄχρηστόν ἐστι. τὸ δὲ εἶμι ἐν χρήσει. ὡς τὸ ἀλλ' εἶμι φθίηνδε· καὶ τὸ τίς πόθεν εἶς ἀνδρῶν; καὶ ἀλλ' ἐπὶ γαῖαν ἱκέσθαι εἶσι· καὶ τῇ δ' εἰσήϊσαν ἐγρήγορτες ἀγῶ. καὶ μέτιμι καὶ μέτιτε ἐν χρήσει πολλῇ οὐ ποιητικοῦ μόνον· ἀλλὰ καὶ συγγραφέων. ὥστε καὶ τὸ τρίτον τῶν πληθυντικῶν μετίασι καὶ κατίασιν. ὡς ἀπὸ τοῦ εἶμι· ἀλλ' οὐ μετιᾶσι καὶ κατιᾶσιν ἀπὸ τοῦ ἵημι· μεθιᾶσι δὲ καὶ καθιᾶσιν ἀπὸ τοῦ ἵημι τὸ πέμπω. τὸ γὰρ ἵημι τὸ πορεύομαι ἄχρηστόν ἐστι καὶ ἡ ἐξ αὐτοῦ κλίσις· χρεὼν γὰρ τὸ ἀπιέναι ἀπαρέμφατον· καὶ μετιέναι, καὶ κατιέναι καὶ τὰ τοιαῦτα ἀπαρέμφατα ἐν χρήσει εὑρίσκονται. καὶ τὸ ἵεμαι, καὶ τὸ ἱέμενος. καὶ τὰ τοιαῦτα. δηλώσει δὲ καὶ ἑξῆς ἡ κατὰ τὸ μέρος κανονισμάτων ἀπόδοσις.

Ἄφες κανόνισον ἵημι. ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἧν. ἡ μετοχὴ εἷς ἕντος. καὶ τὸ προστακτικὸν ἕς. ὁ κανών, πᾶσα μετοχὴ, εἰς σ ὀξύτονος διὰ τοῦ ντ κλινομένη τὸ τέλος τῆς γε-

νικῆς τρέψασα εἰς θι τὸ προστακτικὸν ποιεῖ· καὶ ὤφειλεν εἶναι ἔθι· ἀλλ' ἐπεὶ τὰ εἰς θι προστακτικὰ καὶ τὰ εἰς ναι ἀπαρέμφατα, ἀορίστου ὄντα φύσει μακρᾷ παραλήγεται, τοῦτο δὲ ἀορίστου ὂν, ἐκείνων δυνάμει τὴν παραλήγουσαν βραχεῖαν ἔχειν ἀποκοπῇ τοῦ θι, ἐς γέγονεν· οὕτω ἐπιθὲς, καὶ δὸς γίνεται· ἀπὸ τούτου δὲ μετὰ τῶν προθέσεων· συνές, καὶ ἄφες· καὶ ὧνες· καὶ κάθες, καὶ πάρες· καὶ τὰ τοιαῦτα, τὸ λῆγον δὲ εἰς ε εἰς δήλωσιν τοῦ τῆς ἀποκοπῆς πάθους· τὰ γὰρ εἰς ε λήγοντα ἀπαθῆ εἰσιν· οἷον τύπτε· λάβε·

Γροσήκαν το κανόνισον· ἵημι, ὁ μέλλων ἥσω· ὁ ἀόριστος ἧκα, ὁ μέσος ἡκάμην· τὸ τρίτον ἥκατο· ἰστέον δὲ ὅτι ἑπτὰ ἀόριστοι εἰσὶ παρασεσημειωμένοι μὴ κατὰ τὴν ἀκολουθίαν τῶν ἀορίστων προϊόντες· οἷον εἶπα· ἤνεγκα, ἔθηκα· ἔδωκα· ἧκα, ἔχεα καὶ ἔκηα· ἀλλ' ὁ μὲν εἶπα καὶ ἤνεγκα ἅτε δὴ ἐξ ἡμισείας φυλάξαντες τὸ ἀκόλουθον, κινοῦνται πως· ὤφειλον μὲν γὰρ διὰ τοῦ ψ καὶ τοῦ ξ προενεχθῆναι, εἶψα, καὶ ἤνεγξα· ἐπεὶ δὲ τοῦτο κεκώλυται δι' αἰτίαν τινὰ οὐκ ἀνεύλογον, ἐξ ἡμισείας ἐφύλαξαν καὶ τὴν ἀκολουθίαν ὡς εἴρηται· τὸ γὰρ π ἥμισυ τοῦ ψ ἐστὶ· καὶ τὸ κ, ἥμισυ τοῦ ξ, ἐστίν· ὥστε καὶ πως διὰ τοῦτο κινοῦνται· εἶπον γὰρ προστακτικόν· ὡς τὸ εἶπον τῇ ψυχῇ μου σωτηρία σου εἰμὶ ἐγώ· καὶ εἴπας μετοχή· ὡς τὸ εἴπας ἥλιε χαῖρε κλεόμβροτος ἀμβρακιώτης· ὡσαύτως καὶ τὸ ἤνεγκα· ἐνεγκαι γὰρ ἀπαρέμφατον· τὸ δὲ ἔθηκα· ἔδωκα· ἧκα, τῆς ἀκολουθίας τελείως ἐκπεπτωκότα, ἀκίνητα μεμενήκασι· τὸ δὲ ἔχεα, καὶ ἔκκηα, κινοῦνται πως καὶ αὐτά· ἔκχεαι γὰρ καὶ ἔκχεον προστακτικόν· καὶ κηάμενοι παρ' ὁμήρῳ μετοχή· σημείωσαι δὲ ὅτι εἶκα παρακειμένου μὲν ὂν διφθογγίζεται, ὡς τὸ τέθεικα· ἀορίστου δὲ ὂν διὰ τοῦ η γράφεται, ὥσπερ τὸ ἔθηκα, ἔνθεν τοι καὶ τὸ μὲν ἀφεικὼς καὶ παρεικὼς καὶ ἀφεικέναι καὶ παρεικέναι παρακειμένου μὲν ὄντα

διφθογγίζεται· τὸ γὰρ ἀφῆκα πάντοτε διὰ τοῦ η γράφεται·
τούτου γὰρ τὸ τρίτον τῶν πληθυντικῶν οὐκ ἀφήκασιν ὡς ἀπὸ
τοῦ παρακειμένου· ἀλλὰ ἀφῆκαν ὡς ἀπὸ τοῦ ἀορίστου· διὸ καὶ
τὸ ἀφῆκα, ὡς ἀορίστου ὂν διὰ τοῦ η γράφεται· τὸ δὲ ἥκασι γὰρ
ὡς τὸ ἰδοὺ γὰρ ἥκασιν οἱ θεοφεγγεῖς ὡς φωστῆρες, οὐκ ἀπὸ τού-
του τοῦ ἧκα κανονίζεται· ἀλλ' ἀπὸ τοῦ ἥκω τὸ ἔρχομαι εἰς μέ-
σον παρακείμενον· ὅτι δὲ ἐστὶ καὶ εἷκα διὰ διφθόγγου παρακεί-
μενος δηλοῖ τὸ ἀφεῖσαι παρ' Εὐριπίδῃ· ὡς ἐν Ὀρέστῃ· οὐκ ἄρα
κτενεῖς με ἀφεῖσαι· τούτου γὰρ τοῦ εἷκα ὁ παθητικὸς πα-
ρακείμενος εἷμαι· τὸ β' εἷσαι, καὶ μετὰ τῆς ἀπὸ προθέσεως ἀ-
φεῖσαι· τινὲς δὲ τοῦτο ἀπὸ τοῦ ἀφίεσαι παθητικοῦ ἐνεστῶτος
κανονίζουσι κατὰ μετάθεσιν καὶ συναίρεσιν· ἀλλ' ὂν ἀπὸ τῆς ση-
μασίας κρεῖττόν ἐστι κανονισθῆναι αὐτὸν εἰς παθητικὸν παρα-
κείμενον· ὥσπερ καὶ τὸ ἀφεῖμέναι ἐστὶ παθητικοῦ παρακει-
μένου· ὡς παρ' Εὐριπίδῃ ἐν Ἑκάβῃ· τῶν δ' ἀφειμέναι πόνων· εἰ
δὲ ἐστὶν ἀφείμεναι ἐνεστῶτος ἐστὶ καὶ οὐ παρακειμένου· ἀφιέμεναι
γὰρ κατὰ μετάθεσιν ἀφείμεναι καὶ συναίρεσιν·

Πρόου κανόνισον· ἵημι τὸ πέμπω, ὁ μὲν ἥσω ὁ δεύτερος ἀόριστος
ἧν, ὁ μὲν ἥμην· τὸ δεύτερον ἧσο καὶ ἧο καὶ οὗ· τὸ προστακτικὸν
ἕσο· καὶ ἕο· καὶ οὗ· ἀφ' ὧν τέτριπται ἐν τῇ συνηθείᾳ τὸ οὗ μετὰ τῶν
προθέσεων· πρόου, καὶ πρόσου· καὶ κάθου, καὶ ὡσαχῶς ἀλλ'
ἐν χρήσει εὕρηται·

Ἰστέον δὲ ὅτι τοῦτο τριχῶς ἐν τούτοις ἐκφέρεται τὸ δεύτε-
ρον πρόσωπον· ἐπίθεσο γὰρ καὶ ἐπίθεο καὶ ἐπίθου· καὶ ἔθεσο καὶ ἔ-
θεο καὶ ἔθου· ἀλλὰ τὸ μὲν εἰς σο κοινόν ἐστι· τὸ δὲ εἰς εο ἰωνικόν·
τὸ δὲ εἰς ου ἀττικόν· ὅθεν καὶ Ἡσίοδος μὲν ἰωνίζων· σὺ δὲ ταῦ-
τα τεῷ ἐνὶ κάτθεο θυμῷ· Ἀριστοφάνης δὲ ἀττικίζων φη-
σί· κατάθου θοἰμάτιον· εὕρηται δὲ καὶ τὸ πρόες ὡς πα-
ρ' Ὁμήρῳ· ἀλλὰ σὺ μὲν νῦν τήνδε θεῷ πρόες· καὶ τὸ πρό-
ου ὡσαύτως· πρόου τὰ πάντα καὶ θεὸν κτῆσαι μόνον·

Μετὰ δὲ τῆς προς, πρόσου μόνον, οὐ πρόου, ὡς πρόου δὲ οὐ καὶ πρόσες ὡς πρόες.

Μετὰ δὲ τῆς κατὰ, ἢ κάθες καὶ κάθου. ἀπὸ δὲ τοῦ πρόου ἡ λοιπὴ αὐτοῦ κλίσις προέσθω. πρόεσθον, προέσθων. πρόεσθε. προέσθωσαν. τὸ δὲ μεθεῖναι καὶ ἀφεῖναι, ὅτι μὲν καὶ ἀπὸ τοῦ μεθιέναι καὶ ἀφιέναι κανονίζειν εἰς ἐνεστῶτα καὶ παρατατικὸν κατὰ μετάθεσιν, ἢ συναίρεσιν. ὅτι δὲ ἢ εἰς δεύτερον ἀόριστον κανονίζειν αὐτὰ οὕτως. ἵημι ὁ μέλλων ἥσω. ὁ δεύτερος ἀόριστος ἦν, ἡ μετοχὴ εἷς ἕντος. καὶ τὸ ἀπαρέμφατον, εἶναι, ὡς θεῖναι.

Τὸ δὲ προέσθαι καὶ πρόσεσθαι πάλιν ἀπὸ τοῦ μέσου ἀορίστου δευτέρου, ὡς τὸ θέσθαι. καὶ ἁπλῶς τῇ τάξει τοῦ τίθημι ἀκολουθῶν, ἀσφαλῶς κανονίσεις ἢ πάντα τὰ ἀπὸ τοῦ ἵημι. τὸ μὲν γὰρ καθεὶς ὡς τὸ τιθείς, τὸ δὲ προέμενος καὶ προσέμενος ὡς τὸ θέμενος. τὸ δὲ ἐὰν πρόωμαι, καὶ ἐὰν πρόῃ, καὶ ἡ λοιπὴ αὐτοῦ κλίσις ὡς τὸ ἐὰν ὑπόθωμαι. καὶ ἐὰν ὑπόθῃ. τὸ δὲ ἵεσαν ὡς ἐτίθεσαν, τὸ δὲ ἕσαν ὡς ἔθεσαν, καὶ λοιπὰ ὡσαύτως.

## ΠΕΡῚ ΤΩ͂Ν ΤΟΥ͂ ΚΑΘΈΖΕΣΘΑΙ ΣΗΜΑΝΤΙΚΩ͂Ν.

Εἰσὶ δὲ καὶ τοῦ καθέζεσθαι σημαντικὰ θέματα τρία. ἕω. ἕημι. ἕζω καὶ ἵζω. καὶ ἀπὸ μὲν τοῦ ἕω κανονίζεται τὸ εἶντο καὶ εἵατο. ὡς παρ' ὁμήρῳ. καὶ εἵατο δημογέροντες. ἀμφότερα εἰς παθητικὸν ὑπερσυντέλικον. τὸ μὲν κοινῶς. τὸ δὲ ἰωνικῶς. ἀπὸ τούτου δὲ κανονίζεται καὶ τὸ ἐπιειμένος, ὁ ἐνδεδυμένος εἰς παθητικὸν παρακείμενον καὶ αὐτό. ὡς τὸ ὤμοι ἀναιδείην ἐπιειμένε. τὸ γὰρ ἕω καὶ τὸ καθέζομαι σημαίνει, καὶ τὸ ἐνδύομαι. ἀπὸ δὲ τοῦ ἕημι τὸ κάθημαι. καὶ τὸ κάθησθαι οὕτως. ἕημι γὰρ καὶ τὸ παθητικὸν ἕεμαι ἧμαι. ὡς τὸ τίθημι τίθεμαι. τὸ δὲ ἧμαι κράσει τῶν δύο εε εἰς η ἧμαι. καὶ μετὰ τῆς κατὰ, κάθημαι. οὐ συνεκράθησαν δὲ τὰ δύο εε. εἰς τὴν ει δί-

φθόγγου· ἵνα μὴ συνεμπέσῃ τοῦτο τῷ ἧμαι ἐνεστῶτι ὄντι μετὰ τοῦ ἧμαι παθητικοῦ παρακειμένου· ὅπερ ἀπὸ τοῦ ἵημι ἐκανονίσαμεν· ἔχει μὲν γὰρ καὶ ἡ τῶν δύο εε κρᾶσις οἰκείως καὶ πρὸς τὸ η· ἐπεὶ καὶ ἐπὶ τῆς εὐθείας τῶν θηλυκῶν τὰ δύο εε εἰς η μακρὸν κιρνῶνται· οἷον τῷ δημοσθένεε δημοσθένη· ἀλλ' οὖν οἰκειοτέρα ἐστὶν ἡ εἰς τὴν δίφθογγον κρᾶσις τῶν δύο εε· ἀλλὰ διὰ τὸ μὴ συνεμπεσεῖν τῷ τοῦ παθητικοῦ ἐνεστῶτος εἶμαι μετὰ τοῦ εἶμαι παθητικοῦ παρακειμένου, εἰς η τῶν δύο εε ἡ κρᾶσις γέγονεν. Ἀπὸ δὲ τοῦ κάθημαι τούτου, καὶ τὸ καθῆσθαι ἀπαρέμφατον· τούτου χρῆσις καὶ παρ' ὁμήρῳ· ἧσαι ὀνειδίζων· τὸ δὲ εἷσεν ἄγων παρ' ὁμήρῳ· καὶ ἠέρα ἑσσάμενοι παρ' ἡσιόδῳ· ἀπὸ τοῦ ἕω τοῦ προειρημένου κανονίζεται· τὸ μὲν εἰς ἐνεργητικὸν πρῶτον ἀόριστον· τὸ δὲ εἰς μέσον τὸν τούτου.

Τὸ δὲ ἧσθαι καὶ καθῆσθαι ἀπὸ τοῦ ἕζω εἰς παθητικὸν παρακείμενον· ὡς παρ' ὁμήρῳ· αὐτὰρ ἐμὴν ἧσθαι δευόμενον· τίνος δὲ ἕνεκε τὸ μὲν ἀπὸ τοῦ ἧμαι κανονιζόμενον κάθησθαι λέγομεν· τὸ δὲ ἀπὸ τοῦ ἕζω καθῆσθαι· διότι τὸ μὲν καθῆσθαι σύνθετόν ἐστι· τὸ δὲ κάθησθαι παρασύνθετον. τὸ μὲν γὰρ καθῆσθαι θεματικὴν ἔχει τὴν σύνθεσιν· καθέζω γὰρ ὥσπερ καὶ καθίζω· τὸ δὲ κάθησθαι οὐ θεματικὴν ἔχει τὴν σύνθεσιν· οὐ γὰρ λέγομεν καθέημι· ἀλλ' εἰς τὸν παθητικὸν ἐνεστῶτα μετὰ τὴν κρᾶσιν ἡ σύνθεσις τῆς κατὰ γέγονεν· ἧμαι γὰρ καὶ κάθημαι. ἔτι καὶ τοῦτο ἰστέον ὅτι τὰ μὲν ἐνεργητικὰ τούτων ἐν τῇ συνηθείᾳ· ἐγγραφόμενα, ὡς ἀπὸ τοῦ ἕζω κανονιζόμενα· οἷον ἐκάθισε· καὶ καθικὼς καὶ καθίσω· ἐν τῇ συνηθείᾳ δὲ εἶπον διὰ τὸ εἷσαι διφθογγούμενον· τοῦτο γὰρ ὁμηρικὸν καὶ ἀσύνηθες· τὰ δὲ παθητικὰ ποτὲ μὲν διὰ τοῦ η· ὡς τὸ καθήμενος καὶ καθῆσθαι· καὶ ἡμένη ἐν κένθεσιν καὶ κάθησθαι· ἅπερ ἀπὸ τοῦ ἧμαι καὶ τοῦ ἕζω κανονίζεται· ποτὲ δὲ διὰ διφθόγγου, ὡς τὸ εἵνται ἐπὶ πύργῳ· εἵατο δημογέροντες· εἰσὶ δὲ καὶ ταῦτα ἀσυνήθη καὶ ποιητικά· ἤγουν

τὰ διὰ

τὰ διὰ δύο φθόγγων. κατὰ δὲ τὴν κοινὴν συνήθειαν, τὰ μὲν παθητικὰ πάντα διὰ τοῦ η. ἔτι γοῦν σημειωτέον, ὅτι τὰ ἐνεργητικὰ πάντα ἅπερ καὶ εἴπομεν, διὰ τοῦ ι γράφεται, τὰ αὐτὰ ἢ παθητικά εἰσι τῇ δυνάμει. καθίζω γὰρ ἐγώ. καὶ καθίζω ἕτερον. καὶ ἐκάθισεν ἀδελφόν. ἢ ἐκάθισεν ἄλλος ἄλλον. ἢ κεκαθικὼς ἐγώ. καὶ κεκαθικὼς ἕτερον. ὃ δὲ εἶπον ὅτι τὰ ἐν τῇ συνθέσει, οὐκ ἀλλοιοῦνται τὸν τόνον, τὰ δὲ ἐν παρασυνθέσει, ἀμείβουσι τοῦ τόνου οὐδέν· ἢ γὰρ τὸ ἀέκων τὴν τοῦ στερητικοῦ α σύνθεσιν οὐκ ἔχει θεματικήν. οὐδὲ γὰρ λέγομεν ἀέκω τὸ ἀπαρνοῦμαι· ἀλλὰ ἕκω τὸ θέλω χωρὶς τῆς συνθέσεως. εἶτα εἰς τὸ ἑκὼν ἀπὸ δευτέρου ἀορίστου γίνεται ἡ σύνθεσις. καὶ καλεῖται ἡ τοιαύτη σύνθεσις, παράθεσις. διὸ καὶ ἀναβιβάζεται ὁ τόνος. οὐ γὰρ λέγομεν ἀεκὼν ἀλλὰ ἀέκων. τριχῶς γὰρ ἡ πρόθεσις μετὰ τῶν μερῶν τοῦ λόγου λαμβάνεται ἐν συνθέσει, ἐν παρασυνθέσει. καὶ ἐν συντάξει. ἐν συνθέσει οἷον καταγράφω. καταβολή. ἐν παραθέσει, οἷον, κάθημαι. ἐν συντάξει δὲ, οἷον κατὰ τῆς πόλεως. κατὰ τοιοῦτον οὖν λόγον καὶ τὸ ἀέκων ἐν παραθέσει φαμέν. καὶ διὰ τοῦτο, τὸν τόνον ἀναβιβάζει. ὁμοίως καὶ τὸ ἧσο καὶ κάθησο. ὡς τὸ ἀλλ᾽ ἀκέουσα κάθησο. τὸ δὲ ἧσο καὶ κάθησο, ὡς τὸ ἧσο ἐπιγνάμψασα φίλον κῆρ. θεματικὴ γὰρ ἐνταῦθα ἡ σύνθεσις καθὼς καὶ προείρηται. τὸ δὲ λέγειν ὅτι τὰ ἀρχαϊκὰ φυλάττουσι τὸν ἀπ᾽ ἀρχῆς τόνον ὅνπερ ἐν ταῖς εἰς τὸν Ὅμηρον σχολαῖς ὁ Θεσσαλονίκης λέγει Εὐστάθιος, οὐκ ἀληθὲς ἔοικεν εἶναι· ἰδοὺ γὰρ καὶ τὸ ἧσο ἀρχαϊκὸν οὐδέν· ἀλλ᾽ ἐν τῇ συνθέσει κάθησο λέγεται. ὡς τὸ ἀλλ᾽ ἀκέουσα κάθησο. ἢ οἶδα καὶ οἶσθα ἀρχαϊκά εἰσιν. ἀλλ᾽ ἐν τῇ συνθέσει σύνοιδα. ἢ κάτοιδα. καὶ σύνοισθα καὶ κάτοισθα λέγομεν. ἀλλὰ καὶ ταῦτα ἀναβιβάζουσι τὸν τόνον. διότι οὐκ ἔχουσι τὴν σύνθεσιν θεματικήν. οὐδὲ γὰρ λέγομεν συνείδω καὶ συγγινώσκω. ἀλλ᾽ ἡ σύνθεσις εἰς τὸ οἶδα καὶ οἶσθα γίνεται.

Τὸ πρόσχες καὶ πρόσχωμεν θεματικὴν μὲν ἔχει τὴν σύνθεσιν. προσέ-

χω γάρ. τὸ ὤφειλε κατὰ τοῦτον τὸν λόγον προσχῆς εἶναι τὸ προσχῶμεν· ἀλλ' ἐπεὶ ἀτοπίαν τινὰ ἐν τῇ πλάσει αὐτοῦ ἐδέξατο, κατὰ τοῦτο καὶ τὸν τόνον αὐτοῦ ἐνήλλακται. ἡ ἀτοπία δὲ τῆς πλάσεως τοιαύτη ἐστίν. ἔχω γάρ, οὗ ὁ δεύτερος ἀόριστος ἔσχον· ἀλλ' ἵνα μὴ συνεμπέσῃ μετὰ τοῦ παρατατικοῦ, εἶχον λέγομεν. ἔσχον μὲν οὖν οὐκ ὤφειλεν εἶναι χωρὶς αὐξήσεως· τὸ ἐξ ἀνάγκης διὰ τοῦ σ τὴν αὔξησιν ἐδέξατο, ἀλλ' ἵνα μὴ μείνῃ ἀναύξητον κατὰ τὴν ἄρχουσαν. εἰ οὖν τὸ δευτέρου ἀορίστου ἐστὶ παραλήγουσα· ἀλλὰ τὸ ἄρχουσα ἡ αὐτή. οὕτω τὸ τῷ ἕσπω ὃ σημαίνει τὸ ἀκολουθῶ ἕσπον ὁ δεύτερος ἀόριστος. ἔσχον οὖν καὶ τὸ ὑποτακτικὸν ἐὰν σχῶ· καίτοιγε οὕτως ὤφειλεν. ἐν οὖν τοῖς ὑποτακτικοῖς ἡ αὔξησις μὲν ἀποβάλλεται· τὸ θεματικὸν ὅ ἐστι χεῖρον φυλάττεται. ὤφειλεν οὖν τὸ σ μὲν ἐκβληθῆναι· τὸ ε δὲ φυλαχθῆναι. ἀνάπαλιν δὲ γέγονεν. καὶ τὸ ε μὲν ἐξεβλήθη· ὡς δὴ εἰσκόμενον εἰς τὴν ἄρχουσαν· τὸ δὲ σ ἐτηρήθη ὡς ἐντὸς δὴ εἰσκόμενον. καὶ διὰ τὴν ἀτοπίαν αὐτήν, ἄτοπος καὶ ἡ τονικὴ ἔγκλισις γέγονε. διὸ καὶ φαμὲν κατάσχης· καὶ κατάσχωμεν· τὸ παράσχης· καὶ παράσχωμεν· καὶ πρόσχης· τὸ πρόσχωμεν.

Εἴξασι κανόνισον. εἴκω τὸ ὁμοιῶ, ὁ μέλλων εἴξω, ὁ παρακείμενος εἶχα, ὁ μέσος εἶκα· τὸ γ' τῶν πληθυντικῶν, εἴκασι· καὶ πλεονασμῷ τοῦ σ, εἴκσασι· καὶ εἴξασι· ὡς παρὰ Ἀριστοφάνει. εἴξασι σωτηρίοισι πεπλαμένοισι.

Κατάβα κανόνισον. βίβημι, ὁ μέλλων βήσω, ὁ δεύτερος ἀόριστος ἔβην, ἡ μετοχὴ ὁ βὰς τοῦ βάντος. καὶ τὸ προστακτικὸν, βῆθι· ὡς στῆθι. καὶ τροπῇ τοῦ η εἰς α, καὶ ἀποκοπῇ τοῦ θι καὶ μετὰ τῆς κατὰ προθέσεως, κατάβα· ἐπεὶ γὰρ ἡ τοιαύτη ἀποκοπὴ δωρική ἐστιν, οἰκείως καὶ ἡ τροπὴ τοῦ η εἰς α δωρικῶς γέγονεν· καὶ ἡ τοιαύτη γὰρ τροπὴ δωρική ἐστιν. χρῆσις παρὰ Ἀριστοφάνει, κατάβα πανοῦργε. εἰσὶ δὲ καὶ ἀμφότερα εὔχρηστα. καὶ τὸ κατάβηθι καὶ τὸ κατάβα, οὕτως ἐν χρήσει καὶ τὸ ἀνάστηθι. καὶ τὸ ἀνάστα.

Μεμνεῖτο κανόνισον. μνάω, μνῶ, ὁ μέλλων, μνήσω, ὁ παρακείμενος

μέμνηκα· ὁ παθητικὸς μέμνημαι· καὶ τὸ εὐκτικὸν μεμνήμην. τὸ δεύτερον, μεμνῇο· τὸ τρίτον, μεμνῇτο· χρῆσις παρὰ Ἀριστοφάνει, ὡς ἂν φορῶν θοἰμάτιον μεμνῇτό μου. οὕτως καὶ πεποιημένην· πεποιῇο· πεποιῇτο· βεβοημένην· βεβοῇο, βεβοῇτο· καὶ κεχρυσωμένην, κεχρυσῷο· κεχρυσῷτο. αὐτὸς δὲ ἁρμόσει καὶ τοῖς λοιποῖς καὶ ἐπὶ τῶν παθητικῶν βαρυτόνων. Πᾶν γὰρ παθητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικὸν τρέπον τὴν ἐσχάτην εἰς μην, καὶ πρὸ τοῦ μ δεξάμενον τὸ ι, τὴν κατὰ ἀρχάς τε αὔξησιν ἀποβάλλον τὸ εὐκτικὸν ποιεῖ· τύπτομαι, τυπτοίμην, ἐτυψάμην· τυψαίμην· πεποίημαι· πεποιήμην· κεχρύσωμαι κεχρυσώμην· οὕτως οὖν καὶ μέμνημαι, μεμνήμην.

Ἀπερρύησεν κανόνισον· ῥέω καὶ πλεονασμῷ τοῦ υ, ῥεύω· ὥσπερ κλαίω, κλαύω· καὶ κάω, καύω· καὶ χέω, χεύω· καὶ τὰ τοιαῦτα· ὁ μέλλων ῥεύσω, ὁ πρῶτος ἀόριστος ἔρρευσα, ὁ δεύτερος ἔρρυον· ὁ παθητικὸς ἐρρύην· ἐρρύης ἐρρύη· καὶ ὁ μέλλων μέλλων, ῥυήσομαι ῥυήσῃ· ῥυήσεται. ἔχει δὲ ἀπορίαν. πῶς οὐκ ἀπέβαλε τὸ ὑποτακτικὸν εἰς τὸν β' ἀόριστον, ἀλλὰ τὸ προστακτικόν· καὶ φαμὲν εἰς τὸν ἐνεστῶτα καὶ παρατατικὸν ὑποτακτικὸν ἐν χρήσει οὐχ εὕρηται· ῥέω γὰρ καὶ ἔρρεον λέγομεν· ἀπὸ δὲ τοῦ μέλλοντος καὶ εἰς τοὺς ἑξῆς χρόνους ὅσοι ἀπὸ τοῦ μέλλοντος γίνονται ἔχει τὴν χρῆσιν· ἐπεὶ γοῦν ὁ παρατατικὸς εἶχε τὸ ε· ἐξ ἀνάγκης ὁ δεύτερος ἀόριστος προήχθη διὰ τοῦ προστακτικοῦ.

Τεθνάναι κανόνισον· ἔστι ῥῆμα πρωτότυπον, θείνω τὸ τύπτω, ὁ μέλλων θενῶ· καὶ κατὰ μετάθεσιν τοῦ ν θνέω, θνῶ· μεταποιεῖται δὲ εἰς πεπονθωμένην σημασίαν ὁ μέλλων· ὡς καὶ ἀλλαχοῦ· πολλαχοῦ. οὗ ὁ μέλλων θνήσω· ἀφ' οὗ καὶ θνῆσις· ὥσπερ γὰρ ἀπὸ τοῦ θέω, θῶ· τίθημι· οὕτω καὶ ἀπὸ τοῦ θνέω, θνῶ· τίθνημι, ὁ μέλλων θνήσω. ὡς στήσω, ὁ παρακείμενος τέθνηκα ὡς ἕστηκα· τὸ ἀπαρέμφατον τεθνηκέναι· καὶ κατὰ μετάθεσιν τεθνάναι· διὸ καὶ περισπᾶται· τὸ δὲ ᾱ ἀντὶ εἰς ᾱ μακρὸν κιρνᾶται· πᾶσα φύσει μακρὰ πρὸ βραχείας ληκτικῆς ἐν ἑνὶ μορίῳ λόγου οὖσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον, περισπᾶται· ἐπεὶ τὸ ἐν τοῖς ἀπαρεμφάτοις δίφθογγον, βραχύ ἐστιν· οὕτω δὲ γίνεται

τὸ ἑστάναι τὸ κατὰ συγκοπὴν τῆς κε συλλαβῆς ἀπὸ τοῦ ἑστακέναι. οὐ γὰρ ἀφίησι τὸ τεθνεὼς εἰς ἑστὼς, ὀξύνονται μόνον τὸ ἑστὼς καὶ τεθνεὼς, οὐκ ἐξ ὀξείας καὶ βαρείας περισπῶνται. ἀλλ' ἐκ βαρείας καὶ ὀξείας ἡ κρᾶσις ἐγένετο. τὰ μὲν γὰρ ἐξ ὀξείας καὶ βαρείας περισπῶνται. οἷον πηλέϊ πηλεῖ. τὰ δὲ ἐκ βαρείας καὶ ὀξείας, ὀξύνονται. ἑσταὼς ἑστώς, βεβαὼς βεβώς. τεθνεὼς τεθνώς. τὰ δὲ ἐκ δύο βραχειῶν πάλιν βραχύνονται. οἷον Δημοσθένεϊ Δημοσθένει. ποίεε ποίει. τὸ δὲ ἑστάναι καὶ τεθνάναι οὐκ αὐτίκα φανεῖ ἡμῖν. εἴποι γὰρ ἄν τις ὅτι καὶ ἐκεῖνα ἐκ βραχειῶν καὶ ὀξείας συνεκράθησαν. καὶ ὤφειλον πάλιν ὀξύνεσθαι. ἀλλ' ἐπειδὴ ἡ παραλήγουσα φύσει μακρὰ ἐγένετο, ἡ δὲ λήγουσα βραχεῖα ἐστι, νικᾷ μᾶλλον περισπᾶσθαι κατὰ τὸν κανόνα τὸν λέγοντα, πᾶσα φύσει μακρὰ, πρὸ βραχείας ληκτικῆς, ὡς ἔμαθες. ἀλλ' οὕτω μὲν τὸ τεθνάναι κανονίζεται δευτέρας οὖν συζυγίας τῶν εἰς μι ὡς εἴπομεν.

Τὸ δὲ τέθνηκα οὐκέτι ἀπὸ τῆς δευτέρας κανονισθήσεται, ἀλλ' ἀπὸ τῆς πρώτης τοῦ τίθνημι. καὶ γὰρ ἀκριβέστερον περὶ τούτου διαλαμβάνομεν. ἀπὸ μὲν τοῦ πρώτου μέλλοντος τοῦ θνήσω κατὰ μετάθεσιν. θνέω, θνῶ πρώτης συζυγίας τῶν περισπωμένων γίνεται. ἀφ' οὗ τὸ τίθνημι πρώτης συζυγίας ὂν τὸ αὐτὸ τῶν εἰς μι. οὗ καὶ ὁ παρακείμενος τέθνηκα διὰ διφθόγγου. ὡς τὸ τέθνηκα. τὸ ἀποβολῇ τοῦ κ τέθνεα. ὃ καὶ παρὰ ποιηταῖς γνώριμον. ἐκ τούτου δὲ ἀποβολῇ τοῦ ι γίνεται τέθνεα, ὁ τεθνεώς. πάλιν τροπῇ τοῦ ε εἰς η γίνεται τεθνηκὼς διὰ τοῦ η. καὶ ἔστι τὸ μὲν τεθνεὼς κοινόν. ποιητικὸν δὲ τεθνηώς. Ποτὲ διὰ τῆς διφθόγγου γραφόμενον τὸ διὰ τοῦ η ἀπὸ τοῦ δευτέρου μέλλοντος τοῦ θανῶ, κατὰ μετάθεσιν τὸ θνάω θνῶ γίνεται δευτέρας συζυγίας τῶν περισπωμένων. τὸ ἐκ τούτου τίθνημι δευτέρας συζυγίας τῶν εἰς μι. ὅθεν τὸ τεθνάναι ὡς εἴρηται. ἀλλὰ δὴ τὸ τεθναίην. τίθνημι γὰρ ὁ μέλλων θνήσω. ὁ δεύτερος ἀόριστος, ἔθνην ὡς ἔστην. ἡ μετοχὴ ὁ θνὰς τοῦ θνάντος ὡς στὰς στάντος. καὶ τὸ εὐκτικὸν, θναίην. ὡς σταίην. τὸ κατὰ ἀναδιπλασιασμὸν τεθναίην. καὶ Ὅμηρος, τεθναίης ὦ προῖτ' ἢ κάκτανε Βελλεροφόντην.

Τὸ δὲ τεθνηκὼς ἐκ τοῦ θνῶ θνήσω, ὁ παρακείμενος τέθνηκα. εὕρηται δὲ ὅτι ἀπὸ τοῦ θείνω τὸ τύπτω. τὸ ἔθανον καὶ τὸ θανῶ καὶ τὸ θανοῦμαι. καὶ παρ' Εὐριπίδῃ. κατθανῇ, καὶ ἡ θανὴ ἐστὶ ὁ θάνατος. καὶ τὰ προειρημένα ῥήματα. καὶ οὐδὲν θαυμάζειν εἰ ἀπὸ ἑτέρου σημαντοῦ θέματος τὰ τοιαῦτα προέρχονται. ὥσπερ γὰρ τὸ θέμα τῶν ἐξ αὐτοῦ κανονιζομένων ἐστὶν ἀρχή, οὕτως ἐστὶ τοῦ θανάτου προοίμιον ἡ τύψις. οὕτως ἐστὶ ἀπὸ τοῦ τεύχω τὸ ἔτυχον. ἐστὶ ἡ τύχη. καίτοιγε τὸ τεύχω οὐ σημαίνει τὸ ἐπιτυγχάνω. ἀλλ' ὅμως καθ' Ἕλληνας ἀπὸ τῆς τοιαύτης παρασκευῆς τῶν ἄστρων τὰ περὶ τύχης ἀποτελέσματα γίνεται. ὡσαύτως καὶ ἀπὸ τοῦ βρέχω τὸ ἔβραχεν καὶ ἡ βροχή. καίτοιγε τὸ βρέχω τὸ ὑετίζω σημαίνει. ἤγουν ἤχησεν. ἀλλ' ὅμως καὶ ταῦτα συγγένειάν τινα ἔχουσιν. ἀπὸ γὰρ τῆς περὶ βροχῆς καὶ ἦχος ἀποτελεῖται.

Ἕστηκα κανόνισον. ἑστήκω ὡς παρὰ τῷ ἀποστόλῳ προστακτικὸν γὰρ ἑστήκετε. ὁ μέλλων στήξω. ὁ παρακείμενος ἕστηκα. ὁ μέσος ἕστηκα. ὡς παρὰ τῷ Εὐριπίδῃ ἐν τῇ Ἑκάβῃ. ἕστηκας ὢ κάκιστε τῇ νεανίδι. ἀπὸ τούτου δὲ τοῦ ἕστηκα καὶ θέμα ἑστήκω οὗ καὶ χρῆσις πολλὴ παρὰ τοῖς ῥήτορσιν. οὕτως καὶ ἀπὸ τοῦ πέφονα μέσου παρακειμένου, πεφόνω. ἐστὶ κατὰ συγκοπὴν, πέφνω γίνεται.

Ἀπὸ τοῦ κέκραγα μέσου παρακειμένου κεκράγω γίνεται. οὗ καὶ ὁ πρῶτος ἀόριστος ἐκέκραξα. καὶ ῥηματικὸν ὄνομα ὁ κεκράκτης ὡς πεποίημαι ποιημα. καὶ λοιπὸν εἰσὶ τρία θέματα ἵστημι ὅθεν τὸ ἑστὼς καὶ τὸ ἑστάναι. καὶ ἀνάστα καὶ τὰ τοιαῦτα. στήκω ὅθεν παρὰ τῷ ἀποστόλῳ στήκετε προστακτικόν, καὶ τὸ ἕστηκα. καὶ τρίτον τὸ ἑστήκω. ὅθεν καὶ ἑστήξομαι μέλλων μέσος πρῶτος.

Λέλουχα κανόνισον. λέγω τὸ ἀπὸ κλῆρον λαμβάνω. ὁ μέλλων λέξω. ὁ παρακείμενος λέλεχα. ὁ μέσος λέλογα. λαμβανόμενον οὖν ἀπὸ τοῦ ἐνεργητικοῦ παρακειμένου τὸ χ. ἀπὸ δὲ τοῦ μέσου τὸ ο καὶ γ. καὶ γίνεται λέλογχα. ὡς παρὰ Πινδάρῳ. ἀκέρδεια λέλογχε θαμινὰ κακηγόρους. οὕτω γίνεται καὶ τὸ πέπομφα καὶ κέκλοφα. καὶ δέδοικα. μίγματα γάρ εἰσι τοῦ τε ἐνεργητικοῦ παρακειμένου καὶ τοῦ μέσου.

Ἐπίσω οὐκ ἀπὸ τοῦ ἵσημι κανονίζεται· ὤφειλε γὰρ εἶναι ἐφίσω· διότι δασύνεται τὸ ἵσημι· ἔστι δὲ καὶ ἕτερον σημαντικὸν πρὸς τὸ ἴσημι· ἴσαμεν ὃ τὸ ὀρθειάζω σημαίνει· ἐπίσαμεν ὃ τὸ γινώσκω· ἀλλ' ἔστι τούτου θέμα ἴσημι τὸ γινώσκω, καὶ προσλήψει τοῦ τ, ἴσημι μετὰ ψιλοῦ τοῦ πνεύματος· τὸ παθητικὸν, ἴσαμαι· καὶ ὁ παρατατικὸς, ἰσάμην· ἴσασο· καὶ ἴσαο· καὶ ἴσω· εἴρηται γὰρ καὶ ἐν ἄλλοις ὅτι καὶ ἐν τοῖς τοιούτοις διχῶς ἐκφέρεται τὸ δεύτερον πρόσωπον. καὶ μετὰ τῆς ἐπὶ προθέσεως ἐπίσω· καὶ τὸ προστακτικὸν ἐπίσω· ὡς παρὰ σοφοκλεῖ· ἀλλ' οὖν ἐπίσω γοῦν μάτην μίαν ἄγει.

Ἴσω δὲ καὶ γινωσκέτω κανονίζεται οὕτως· ἴσημι τὸ γινώσκω, καὶ ὁ παρατατικὸς ἴσην· ἡ μετοχὴ ὁ ἴσας τοῦ ἴσαντος· καὶ τὸ προστακτικὸν ἴσαθι, καὶ κατὰ συγκοπὴν ἴαθι· καὶ τὸ τρίτον, ἴσω.

Ἔχει καὶ ἔχεε κανόνισον, ἔχω συζυγίας ἕκτης τῶν βαρυτόνων. καὶ ὁ παρατατικὸς, ἔχεεν· ἔχεες· ἔχεε· καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον, ἔχει· ὡς παρ' ἀριστοφάνει ἐν νεφέλαις, ἀλλ' ἱππερόν μοι κατέχει τῶν χρημάτων.

Ἰστέον δὲ ὅτι τὰ τοιαῦτα ἐν τοῖς πρώτοις προσώποις συναίρεσιν οὐκ ἐπιδέχονται· οὐδὲ γὰρ λέγομεν χέω χῶ, οὐδὲ ἔχεον ἔχουν· οὐδὲ γάρ ἐστι περισπώμενα· ἀλλὰ ἕκτης συζυγίας ὡς εἴρηται· ἀλλὰ τὴν συναίρεσιν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ μόνον δέχονται οἷον, χέω, χῶ· χέεις, χεῖς· χέει, χεῖ· καὶ ἔχεες, ἔχεις· ἔχεε, ἔχει· καὶ ῥέω· ῥέεις, ῥεῖς· ῥέει, ῥεῖ· καὶ ἔρεες, ἔρεις· ἔρεε, ἔρει· ὅμοια γάρ εἰσι καὶ τὸ πλέω· καὶ τὸ ῥέω· ὅσα δηλονότι προσλαμβάνουσι τὸ ὖ ψιλὸν, εἰς τὸν μέλλοντα, ἵνα μὴ ἀπὸ βαρυτόνων θεμάτων, ἡ παραλήγουσα τῶν ἀορίστων βραχεῖα γένηται ὅπερ ἐστὶν ἄτοπον.

Ἰστέον δὲ ὅτι τὸ δεῖ, τὸ πλεῖ καὶ ῥεῖ, καὶ ζεῖ, καὶ τὰ τοιαῦτα καὶ ὑποτακτικοῦ μορίου τεθέντος οὐχ ὑποτάσσονται· ὡς καὶ παρὰ ἀριστοφάνει· κἂν δεῖ μ' ἀποθανεῖν αὐτὸς διαπράξας ταῦτα· ἐν γὰρ τῇ συνηθείᾳ καὶ τῇ εὑρισκομένῃ χρήσει παρὰ τοῖς ῥήτορσι χωρὶς μὲν ὑποτακτικοῦ μορίου συνηρημένα τίθενται, καὶ διὰ διφθόγγου γράφον-

ται. οἷον δεῖ. ζεῖ. πλεῖ. χεῖ. ῥεῖ. ὡσαύτως ἐστὶ τὸ κεῖται. μετὰ δὲ ὑποτακτικοῦ μορίου διαλελυμένα τίθεται καὶ διὰ τοῦ η γράφεται. οἷον ἐὰν δέῃ. ἐὰν πλέῃ. ἐὰν ζέῃ ἐὰν ῥέῃ, ὡσαύτως καὶ τὸ ἐὰν κέηται.

Ὀνῖναι κανόνισον. ὀνέω ὀνῶ τὸ ὠφελῶ. ἐστὶ ἐκ τούτου ῥῆμα εἰς μι. ὄνημι πρώτη, καὶ κατὰ ἀναδιπλασιασμὸν, ὀνίνημι. ὥσπερ θέω θῶ τίθημι. οἰκεῖος γὰρ ὁ ἀναδιπλασιασμὸς ἐν τοῖς εἰς μι. ἑπομένων ὅμως ὅτι καὶ ἀπὸ τοῦ ὀνέω ὀνῶ γίνεται καὶ ὄνημι δευτέρα. ὅθεν καὶ τὸ ἀπόνασθαι ἐστὶ τὸ ὄναιο καὶ τὰ τοιαῦτα. ὥσπερ καὶ ἀπὸ τοῦ φιλέω φιλῶ φίλημι δευτέρα. καὶ ἀπὸ τοῦ αἱρέω αἱρῶ αἵρημι δευτέρα. καὶ οὐδὲν θαυμαστὸν εἰ ἀπὸ τῆς αὐτῆς περισπωμένης καὶ πρώτη τῶν εἰς μι καὶ β' γίνεται. μᾶλλον δὲ ἀναλογώτερον ἡ πρώτη, ὥσπερ καὶ ὁ ἀναδιπλασιασμὸς οἰκεῖος. εἰ δὲ καὶ δευτέρας διισχυρίζεταί τις τὸ ὀνῖναι μὴ εἶναι, οὐ διαφερόμεθα, ὁ παρακείμενος ὠνίνημαι. ἡ μετοχὴ ὁ ὀνινεὶς τοῦ ὀνινέντος. ὡς τιθεὶς τιθέντος. ἢ ὀνινὰς ὀνινάντος ὡς ἱστὰς ἱστάντος. τὸ ἀπαρέμφατον ὀνινέναι. καὶ κατὰ συγκοπὴν ὀνῖναι.

Φιλοῖμεν κανόνισον, φιλέω φιλῶ καὶ ἡ μετοχὴ ὁ φιλῶν τοῦ φιλοῦντος. καὶ τὸ εὐκτικὸν φιλοῖμι. τὸ πληθυντικὸν πρῶτον φιλοῖμεν. τὸ δὲ φιλοίημεν ἀττικόν ἐστι. τὸ γὰρ ἐνθένδε φιλοῖμι τροπῇ τοῦ μι εἰς ην, φιλοίην γίνεται εἶτα τὸ πληθυντικὸν τὸ πρῶτον, φιλοίημεν. οὕτως ὡς τὸ ἀναβιῴην παρὰ ἀριστοφάνει. τὸ δὲ δῴην οὐχ οὕτω γίνεται, δοὺς γὰρ δόντος, δοίην. ἐπειδὴ ὀξύτονος εἰς ς ἡ μετοχὴ διὰ τοῦ ντ κλινομένη, καὶ τροπῇ τοῦ ο μικροῦ εἰς ω μέγα, δῴην.

Ἰστέον γὰρ ὡς ἐὰν ἡ μετοχὴ εἰς ς ὀξύτονος ᾖ διὰ τοῦ ντ κλινομένη καθαρόν ἐστι τὸ εὐκτικὸν. καὶ εἰς ην λήγει. οἷον τυφθεὶς, τυφθέντος, τυφθείην. δοὺς δόντος, δοίην. στὰς στάντος σταίην. ἐὰν δὲ εἰς ς μὲν ὀξύτονος ᾖ, μὴ κλίνηται δὲ διὰ τοῦ ντ, οὐκ ἔχει τὸ εὐκτικὸν καθαρὸν. οὐδὲ εἰς ην λήγει, ἀλλὰ εἰς μι. οἷον τετυφὼς τετυφότος, τετύφοιμι. καὶ ἀνάπαλιν. ἐὰν κλίνηται μὲν διὰ τοῦ ντ οὐκ ἔχει εἰς ς ὀξύτονον τὴν λήγουσαν ἡ μετοχὴ, οὐκ ἔχει

τὸ εὐκτικὸν καθαρὸν, οἷον τύψας τύψαντος τύψαιμι. ἐπεὶ δὲ
διὰ παραληγούσης τοῦ εὐκτικοῦ· πότε μὲν δηλαδὴ γράφεται
διὰ τῆς οι διφθόγγου πότε διὰ τοῦ ει. εἰδέναι χρὴ ὅτι εἰ μὲν ἔχει τὸ μ̄
κλιτικὸν ὁ χρόνος ἐκεῖνος, οὐκ ἀναδεχόμενος εἰς τὴν γενικὴν ὥστε
ἵνα ἐκεῖθεν τὸ εὐκτικὸν πλάσωμεν, ἀλλ' αὐτίκα, τῇ παραλη-
γούσῃ ὁριστικοῦ προστιθέντες τὸ ι, τὸ εὐκτικὸν ποιοῦμεν. οἷον τύ-
πτομαι, τυπτοίμην. τίθεμαι τιθείμην, καὶ πρὸς τὴν παραλήγου-
σαν τοῦ ὁριστικοῦ ἀποφαινόμεθα τὴν παραλήγουσαν τοῦ
εὐκτικοῦ εἴτε διὰ τῆς οι διφθόγγου, εἴτε διὰ τῆς ει.

ΤΈΛΟΣ.